Ακαδημία Αθηνών / Academy of Athens



**κόσμιον (ἐστί).** (Εἶναι) κόσμιο/(εἶναι) εὐπρεπές, (it is) well ordered/(it is) seemly, Δημόκριτος 47 *νόμῳ καὶ ἄρχοντι καὶ τῷ σοφωτέρῳ εἴκειν κ ό σ μ ι ο ν.*

**Κοσμογραφίη.** Περιγραφὴ τοῦ κόσμου, cosmography, Δημόκριτος 5a (τίτλ.) *Κ ο σ μ ο γ ρ α φ ί η.* Πρβλ. *κόσμος.*

**κόσμος 1.** Κόσμος/σύμπαν, world/universe, Ἀναξιμένης 2 *οἷον ἡ ψυχὴ ... ἡ ἡμετέρα ἀὴρ οὖσα συγκρατεῖ ἡμᾶς, καὶ ὅλον τὸν κ ό σ μ ο ν πνεῦμα καὶ ἀὴρ περιέχει* Πυθαγόρας A 21 (DK I 105,25) Πυθαγόρας πρῶτος ὠνόμασε τὴν τῶν ὅλων περιοχὴν *κ ό σ μ ο ν* ἐκ τῆς ἐν αὐτῷ τάξεως Ἡράκλειτος 30 *κ ό σ μ ο ν τόνδε, τὸν αὐτὸν ἁπάντων, οὔτε τις θεῶν οὔτε ἀνθρώπων ἐποίησεν* Ἐμπεδοκλῆς 134.5 *ἀλλὰ φρὴν ἱερὴ καὶ ἀθέσφατος ἔπλετο μοῦνον, φροντίσι κ ό σ μ ο ν ἅπαντα καταΐσσουσα θοῇσιν* Φιλόλαος 1 *ἁ φύσις δ' ἐν τῷ κ ό σ μ ῳ ἁρμόχθη ἐξ ἀπείρων τε καὶ περαινόντων, καὶ ὅλος ⟨ὁ⟩ κ ό σ μ ο ς καὶ τὰ ἐν αὐτῷ πάντα* 2.6 *ἐκ περαινόντων τε καὶ ἀπείρων ὅ τε κ ό σ μ ο ς καὶ τὰ ἐν αὐτῷ συναρμόχθη* 6.6-13 *οὐχ οἷον τ' ἦν οὐθὲν τῶν ἐόντων καὶ γιγνωσκόμενον ὑφ' ἁμῶν γα γενέσθαι μὴ ὑπαρχούσας τᾶς ἐστοῦς τῶν πραγμάτων, ἐξ ὧν συνέστα ὁ κ ό σ μ ο ς, καὶ τῶν περαινόντων καὶ τῶν ἀπείρων ... τὰ μὲν ὧν ὁμοῖα καὶ ὁμόφυλα ἁρμονίας οὐδὲν ἐπεδέοντο, τὰ δὲ ἀνόμοια μηδὲ ὁμόφυλα μηδὲ ἰσοταγῆ ἀνάγκα τᾷ τοιαύτᾳ ἁρμονίᾳ συγκεκλεῖσθαι, οἵᾳ μέλλοντι ἐν κ ό σ μ ῳ κατέχεσθαι* Ἀναξαγόρας 8 *οὐ κεχώρισται ἀλλήλων τὰ ἐν τῷ ἑνὶ κ ό σ μ ῳ οὐδὲ ἀποκέκοπται πελέκει* Διογένης 2.3-5 *εἰ γὰρ τὰ ἐν τῷδε τῷ κ ό σ μ ῳ ἐόντα νῦν, γῆ καὶ ὕδωρ καὶ ἀὴρ καὶ πῦρ καὶ τὰ ἄλλα ὅσα φαίνεται ἐν τῷδε τῷ κ ό σ μ ῳ ἐόντα* Δημόκριτος 5c (τίτλ.) *Περὶ φύσεως Α ⟨ἢ Περὶ κ ό σ μ ο υ φύσιος⟩* Δημόκριτος 247 *ἀνδρὶ σοφῷ πᾶσα γῆ βατή· ψυχῆς γὰρ ἀγαθῆς πατρὶς ὁ ξύμπας κ ό σ μ ο ς.* ||**(μικρός) κόσμος.** Μικρόκοσμος, microcosm, Δημόκριτος 34 *ἐν τῷ ἀνθρώπῳ μ ι κ ρ ῷ κ ό σ μ ῳ ὄντι ... καὶ τὸ ζῷον οἷον μ ι κ ρ ό ν τινα κ ό σ μ ο ν* εἶναί φασιν ἄνδρες παλαιοὶ περὶ φύσιν ἱκανοὶ **2.** Ἁρμονικὴ διάταξη, harmonious arrangement, Ἡράκλειτος 124 *ὥσπερ σάρμα εἰκῇ κεχυμένων ὁ κάλλιστος ... κ ό σ μ ο ς* Παρμενίδης 4.3 *οὐ γὰρ ἀποτμήξει τὸ ἐὸν τοῦ ἐόντος ἔχεσθαι οὔτε σκιδνάμενον πάντῃ πάντως κατὰ κ ό σ μ ο ν οὔτε συνιστάμενον* Μέλισσος 7(3)

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

*ἀλλ' οὐδὲ μετακοσμηθῆναι ἀνυστόν· ὁ γὰρ κ ό σ μ ο ς ὁ πρόσθεν ἐὼν οὐκ ἀπόλλυται οὔτε ὁ μὴ ἐὼν γίνεται* Ἐμπεδοκλῆς 26.5 *ἄλλοτε μὲν Φιλότητι συνερχόμεν' εἰς ἕνα κ ό σ μ ο ν, ἄλλοτε δ' αὖ δίχ' ἕκαστα φορούμενα Νείκεος ἔχθει* **3.** Σύνθεση, ordered structure, Παρμενίδης 8.52 *δόξας δ' ἀπὸ τοῦδε βροτείας μάνθανε κ ό σ μ ο ν ἐμῶν ἐπέων ἀπατηλὸν ἀκούων* Δημόκριτος 21 *Ὅμηρος φύσεως λαχὼν θεαζούσης ἐπέων κ ό σ μ ο ν ἐτεκτήνατο παντοίων* **4.** Τμῆμα τοῦ σύμπαντος, portion of the universe, Φιλόλαος A 16 (DK II 403,22) τὰ δὲ ὑπὸ τὴν τοῦ ὀλύμπου φοράν, ἐν ᾧ τοὺς πέντε πλανήτας μεθ' ἡλίου καὶ σελήνης τετάχθαι, *κ ό σ μ ο ν* **5.** Κόσμημα/διακόσμηση, ornament/adornment, Δημόκριτος 180 *ἡ παιδεία εὐτυχοῦσι μέν ἐστι κ ό σ μ ο ς, ἀτυχοῦσι δὲ καταφύγιον* 195 *εἴδωλα ἐσθῆτι καὶ κ ό σ μ ῳ διαπρεπέα πρὸς θεωρίην, ἀλλὰ καρδίης κενεὰ* 274 *κ ό σ μ ο ς ὀλιγομυθίη γυναικί· καλὸν δὲ καὶ κ ό σ μ ο υ λιτότης* **6.** Σύστημα (πολιτικοκοινωνικό), ordered society (socio-political), Δημόκριτος 258.4 *δίκης καὶ θάρσεος καὶ κτήσεως (?) ἐν παντὶ κ ό σ μ ῳ μέζω μοῖραν μεθέξει* 259.4 *κατὰ νόμους τοὺς πατρίους κτείνειν πολέμιον ἐν παντὶ κ ό σ μ ῳ, ἐν ᾧ μὴ νόμος ἀπείργει.* Πρβλ. *διάκοσμος, διακόσμησις, κοσμεῖσθαι, διακοσμεῖν, μετακοσμεῖσθαι.*

**Κότος.** Μῖσος (προσωποπ.), Hatred (personif.), Ἐμπεδοκλῆς 21.7 *ἐν δὲ Κ ό τ ῳ διάμορφα καὶ ἄνδιχα πάντα πέλονται* 121.2 *ἀτερπέα χῶρον, ἔνθα Φόνος τε Κ ό τ ο ς τε καὶ ἄλλων ἔθνεα Κηρῶν.*

**κούρη.** Βλ. **κόρη.**

**κοῦρος** (συνών. *νέος*). Ἀγόρι/νέος, boy/young man, Παρμενίδης 1.24 *ὦ κ ο ῦ ρ' ἀθανάτοισι συνάορος ἡνιόχοισιν* 17 *δεξιτεροῖσιν μὲν κ ο ύ ρ ο υ ς, λαιοῖσι δὲ κούρας* Ἐμπεδοκλῆς 117.1 *ἤδη γάρ ποτ' ἐγὼ γενόμην κ ο ῦ ρ ό ς τε κόρη τε θάμνος τ' οἰωνός τε καὶ ἔξαλος ἔλλοπος ἰχθύς.* Πρβλ. *ἄρρην, ἄνηβος.*

**κραδαίνειν.** Κραδαίνω/κινῶ, wave/move, Ξενοφάνης 25 *ἀλλ' ἀπάνευθε πόνοιο νόου φρενὶ πάντα κ ρ α δ α ί ν ε ι.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ